10 ποταμὸς ἐκεῖ, ζήσεται. [10]καὶ στήσονται ἐκεῖ ἁλεεῖς ἀπὸ Αινγαδιν
ἕως Αιναγαλιμ· ψυγμὸς σαγηνῶν ἔσται, καθ' αὑτὴν ἔσται, καὶ οἱ
ἰχθύες αὐτῆς ὡς οἱ ἰχθύες τῆς θαλάσσης τῆς μεγάλης πλῆθος πολὺ
11 σφόδρα. [11]καὶ ἐν τῇ διεκβολῇ αὐτοῦ καὶ ἐν τῇ ἐπιστροφῇ αὐτοῦ
καὶ ἐν τῇ ὑπεράρσει αὐτοῦ οὐ μὴ ὑγιάσωσιν· εἰς ἅλας δέδονται.
12 [12]καὶ ἐπὶ τοῦ ποταμοῦ ἀναβήσεται ἐπὶ τοῦ χείλους αὐτοῦ ἔνθεν
καὶ ἔνθεν πᾶν ξύλον βρώσιμον, οὐ μὴ παλαιωθῇ ἐπ' αὐτοῦ, οὐδὲ
μὴ ἐκλίπῃ ὁ καρπὸς αὐτοῦ· τῆς καινότητος αὐτοῦ πρωτοβολήσει,
διότι τὰ ὕδατα αὐτῶν ἐκ τῶν ἁγίων ταῦτα ἐκπορεύεται, καὶ ἔσται
ὁ καρπὸς αὐτῶν εἰς βρῶσιν καὶ ἀνάβασις αὐτῶν εἰς ὑγίειαν.
13 [13]Τάδε λέγει κύριος θεός Ταῦτα τὰ ὅρια κατακληρονομήσετε τῆς
γῆς, ταῖς δώδεκα φυλαῖς τῶν υἱῶν Ισραηλ πρόσθεσις σχοινίσματος.
14 [14]καὶ κατακληρονομήσετε αὐτὴν ἕκαστος καθὼς ὁ ἀδελφὸς αὐτοῦ,
εἰς ἣν ἦρα τὴν χεῖρά μου τοῦ δοῦναι αὐτὴν τοῖς πατράσιν αὐτῶν,
15 καὶ πεσεῖται ἡ γῆ αὕτη ὑμῖν ἐν κληρονομίᾳ. [15]καὶ ταῦτα τὰ ὅρια
τῆς γῆς πρὸς βορρᾶν· ἀπὸ τῆς θαλάσσης τῆς μεγάλης τῆς κατα-
16 βαινούσης καὶ περισχιζούσης τῆς εἰσόδου Ημαθ Σεδδαδα, [16]Βηρωθα,
Σεβραιμ, Ηλιαμ, ἀνὰ μέσον ὁρίων Δαμασκοῦ καὶ ἀνὰ μέσον ὁρίων
Ημαθ, αὐλὴ τοῦ Σαυναν, αἵ εἰσιν ἐπάνω τῶν ὁρίων Αυρανίτιδος.
17 [17]ταῦτα τὰ ὅρια ἀπὸ τῆς θαλάσσης ἀπὸ τῆς αὐλῆς τοῦ Αιναν,
18 ὅρια Δαμασκοῦ καὶ τὰ πρὸς βορρᾶν. [18]καὶ τὰ πρὸς ἀνατολὰς ἀνὰ
μέσον τῆς Αυρανίτιδος καὶ ἀνὰ μέσον Δαμασκοῦ καὶ ἀνὰ μέσον
τῆς Γαλααδίτιδος καὶ ἀνὰ μέσον τῆς γῆς τοῦ Ισραηλ, ὁ Ιορδάνης
διορίζει ἐπὶ τὴν θάλασσαν τὴν πρὸς ἀνατολὰς Φοινικῶνος· ταῦτα
19 τὰ πρὸς ἀνατολάς. [19]καὶ τὰ πρὸς νότον καὶ λίβα ἀπὸ Θαιμαν καὶ
Φοινικῶνος ἕως ὕδατος Μαριμωθ Καδης παρεκτεῖνον ἐπὶ τὴν θά-
20 λασσαν τὴν μεγάλην· τοῦτο τὸ μέρος νότος καὶ λίψ. [20]τοῦτο τὸ
μέρος τῆς θαλάσσης τῆς μεγάλης· ὁρίζει ἕως κατέναντι τῆς εἰσ-

9 ζησεται ult. trahit 𝔐 ad 10 || 10 αλεεις B*A†] αλιεις rel.: cf. Ier. 16 16 | αινγαδιν Ra. (cf. Sir. 24 14)] ινγαδειν B†, ενγαδδ(ε)ιν *AC*†, αινγαδαιμ Q, αινγαδδ(ε)ιν pau., ηγγαδι *L*: terminatio aramaica -ιν uel hebraica -ιμ respondere uidetur terminationi graecae -οις Sir. 24 14 | αιναγαλ(ε)ιμ] ε pro αι BA, δ pro λ Q | εσται 2⁰] εστιν A† | οι ιχθυες αυτης post μεγαλης tr. et ως om. A† || 11 υγιασωσιν] αγιασ. A || 12 επ] εξ A† | αυτου ult. > A pau. | διοτι] οτι B† | αναβασις] pr. η A || 13 κυριος θεος: cf. 45 9 | τα > B† || 14 αυτην ult. > B || 15 της γης] + της B | της θαλ.] της > B† | ημαθ] θ > B, αιμαθ *C* (tr. hoc post σεδδαδα: = 𝔐) | σεδδαδα *C*] σελδαμμα B, ελδαμμα A || 16 βηρωθα(uel -αμ) *C*] αβθηρα B, ωσθηρα A† | σεβραιμ Ra.] σεβραμ B†, σεφραμ A†, σαβαρειμ *C* | οριων 1⁰ 2⁰] pr. των A | δαμασκου ... ημαθ] tr. A† | ημαθ] -αθει B | αυλη του σαυναν] ευναν και του ευναν A† || 17 fin. B†] + κατα βορραν και το οριον αιμαθ(uel sim.) και(> A) το οριον βορρα rel. (in *O* sub ※) || 18 αυρανιτιδος (cf. 10)] ωραν. A(†), λωραν. B† || 19 καδης] -ημ B† || 20 οριζει] pr. δι A: cf. 18